## Ασκήσεις συντακτικού

### ▪ ΑΣΚΗΣΗ 1

Εκφώνηση

Να μετατρέψετε τις ακόλουθες προτάσεις στον πλάγιο λόγο με όλες τις δυνατές μορφές χρησιμοποιώντας ως ρήμα εξάρτησης αυτό που δίνεται σε παρένθεση.

1. Τὰ πλοῖα κατέκαυσεν, ἵνα μὴ Κῦρος διαβῇ. (οὗτος λέγει…)
2. Ὅτε ἡ μάχη ἐγένετο, Τισσαφέρνης ἐν Σάρδεσιν ἔτυχεν ὤν. (Οὗτος διηγεῖτο ὅτι…)
3. Ὦ ἄνδρες, μὴ θαυμάζετε ὅτι χαλεπῶς φέρω τοῖς παροῦσι πράγμασι. (Κλέαρχος ἐκέλευε...)
4. Ὅ μέλλεις ποιεῖν, μὴ λέγε. (Συνεβούλευεν…)
5. Φίλιππος, εἰ τότε ταύτην ἔσχε τὴν γνώμην, οὐκ ἂν ἐκτήσατο τοσαύτην δύναμιν. ( Γιγνώσκομεν…)
6. Πῶς ἂν τὴν μάχην συμφορώτατα ἡμῖν αὐτοῖς ποιήσαιμεν; (Ἐβουλεύοντο ..)
7. Οὗτος οὐ ποιεῖ ταῦτα. ( Ἔγνωσαν…)
8. Κατέβην χθὲς εἰς Πειραιᾶ. (Ἔφη Σωκράτης…)
9. Ἐπειδὰν ἡ στρατεία λήξῃ, εὐθὺς ἀποπέμψω σε. (Ἔφη..)
10. Ὁ βασιλεὺς ἐν τοῖς σκευοφόροις ἐστί. (Οἱ Ἕλληνες ᾔσθοντο...)

Λύση

1 «Τὰ πλοῖα κατέκαυσεν, ἵνα μὴ Κῦρος διαβῇ. (οὗτος λέγει...)»:
Οὗτος **λέγει** τὰ πλοῖα **κατακαῦσαι**, ἵνα μὴ Κῦρος διαβῇ.
Οὗτος **λέγει ὅτι** τὰ πλοῖα κατέκαυσεν, ἵνα μὴ Κῦρος διαβῇ.

2. «Ὅτε ἡ μάχη ἐγένετο, Τισσαφέρνης ἐν Σάρδεσιν ἔτυχεν ὤν. (Οὗτος διηγεῖτο ὅτι…)» :
Οὗτος **διηγεῖτο ὅτι**, ὅτε ἡ μάχη **γένοιτο**, Τισσαφέρνης ἐν Σάρδεσιν **τύχοι** ὤν.

3. «Ὦ ἄνδρες, μὴ θαυμάζετε ὅτι χαλεπῶς φέρω τοῖς παροῦσι πράγμασι. (Κλέαρχος ἐκέλευε...)»:
Κλέαρχος **ἐκέλευε** τοὺς ἄνδρας μὴ **θαυμάζειν ὅτι** χαλεπῶς **φέροι** τοῖς παροῦσι πράγμασιν.

4. Ὅ μέλλεις ποιεῖν, μὴ λέγε. ( Συνεβούλευεν…):
**Συνεβούλευεν** αὐτῷ, ὃ **μέλλοι** ποιεῖν, μὴ **λέγειν**.

5. «Φίλιππος, εἰ τότε ταύτην ἔσχε τὴν γνώμην, οὐκ ἂν ἐκτήσατο τοσαύτην δύναμιν. (Γιγνώσκομεν...)»:
**Γιγνώσκομεν** Φίλιππον, εἰ τότε ταύτην ἔσχε τὴν γνώμην, οὐκ **ἂν κτησάμενον** τοσαύτην δύναμιν.
**Γιγνώσκομεν** Φίλιππον ὅτι, εἰ τότε ταύτην ἔσχε τὴν γνώμην, οὐκ **ἂν ἐκτήσατο** τοσαύτην δύναμιν.
**Γιγνώσκομεν** Φίλιππον, εἰ τότε ταύτην ἔσχε τὴν γνώμην, οὐκ **ἂν κτήσασθαι** τοσαύτην δύναμιν.

6. «Πῶς ἂν τὴν μάχην συμφορώτατα ἡμῖν αὐτοῖς ποιήσαιμεν; (Ἐβουλεύοντο ..)»:
**Ἐβουλεύοντο ὅπως ἂν** τὴν μάχην συμφορώτατα **σφίσιν αὐτοῖς ποιήσαιεν**.

7. «Οὗτος οὐ ποιεῖ ταῦτα. ( Ἔγνωσαν…)»:
**Ἔγνωσαν** τοῦτον οὐ **ποιοῦντα** ταῦτα.
**Ἔγνωσαν** ὅτι οὗτος οὐ **ποιοῖ / ποιοίη** ταῦτα.
**Ἔγνωσαν** τοῦτον οὐ **ποιεῖν** ταῦτα.

8. «Κατέβην χθὲς εἰς Πειραιᾶ. (Ἔφη Σωκράτης...)»:
**Ἔφη** Σωκράτης **καταβῆναι** χθὲς εἰς Πειραιᾶ.

9. «Ἐπειδὰν ἡ στρατεία λήξῃ, εὐθὺς ἀποπέμψω σε. (Ἔφη...)»:
**Ἔφη**, ἐπειδὰν ἡ στρατεία **λήξῃ**, εὐθὺς **ἀποπέμψειν** τοῦτον. (διατηρείται η υποτακτική στη δευτερεύουσα, διότι δηλώνει σκέψη του υποκειμένου του ρήματος).

10. «Ὁ βασιλεὺς ἐν τοῖς σκευοφόροις ἐστί. (Οἱ Ἕλληνες ᾔσθοντο..)»:
Οἱ Ἕλληνες **ᾔσθοντο** τὸν βασιλέα ἐν τοῖς σκευοφόροις **ὄντα**.
Οἱ Ἕλληνες **ᾔσθοντο** τὸν βασιλέα ἐν τοῖς σκευοφόροις **εἶναι**.
Οἱ Ἕλληνες **ᾔσθοντο** ὅτι ὁ βασιλεὺς ἐν τοῖς σκευοφόροις **εἴη**.

### ▪ ΑΣΚΗΣΗ 2

Εκφώνηση

Στα παρακάτω παραδείγματα να τρέψετε τον ευθύ λόγο σε πλάγιο.

1. Ἀλλὰ διαλέγου καὶ μάθε πρῶτον τίνες εἰσίν. (ρήμα εξάρτ.: **παρῄνει**).

2. Τί φῶμεν πρὸς ταῦτα, ὦ Κρίτων; ἄλλο τι ἢ ὁμολογῶμεν; (ρήμα εξάρτ.: **ἠπόρει**).
3. Ἀλλ' ἡμεῖς, ὦ ἄνδρες, μὴ πάθωμεν ταῦτα, ἀλλ' ἴωμεν ἐπὶ τοὺς πολεμίους. (ρήμα εξάρτ.: **παραινεῖ**).
4. Πότερον ὡς αἱ τέχναι νενέμηνται, οὕτω καὶ ταύτας νείμω; (ρήμα εξάρτ.: **ἠρώτα**).
5. Ὦ Σώκρατες, ἐγὼ μὲν ᾤμην τοὺς φιλοσοφοῦντας εὐδαιμονεστέρους χρῆναι γίγνεσθαι. (ρήμα εξάρτ.: **λέγει**).

Λύση

1. Ἀλλὰ **παρῄνει** διαλέγεσθαι καὶ μαθεῖν πρῶτον τίνες εἶεν.
2. **Ἠπόρει** τί φαῖεν πρὸς ταῦτα. ἄλλο τι ἢ ὁμολογοῖεν.
3. **Παραινεῖ** τοῖς ἀνδράσι μὴ παθεῖν ταῦτα, ἀλλ' ἰέναι ἐπὶ τοὺς πολεμίους.
4. **Ἠρώτα** πότερον ὡς αἱ τέχναι νενεμημέναι εἶεν, οὕτω καὶ ταύτας νείμειε.
5. **Λέγει** τῷ Σωκράτει ὅτι ᾤετο τοὺς φιλοσοφοῦντας εὐδαιμονεστέρους χρῆναι γίγνεσθαι.

## ▪ ΑΣΚΗΣΗ 3

Εκφώνηση

Να μετατρέψετε σε πλάγιο λόγο τις επόμενες προτάσεις χρησιμοποιώντας ως ρήμα εξάρτησης αυτό που δίνεται σε παρένθεση.

1. Τίς ἔστιν ἡ χώρα; (Ξενοφῶν ἀνηρώτα)
2. Βούλει τι, ὦ Κῦρε, παραγγεῖλαι; (Ξενοφῶν ἤρετο Κῦρον).
3. Ἀναπλευσῇ (< ἀναπλέομαι = ἔρχομαι) ἔχων ἀργύριον; (Ἠρώτων αὐτὸν)
4. Πέρσης εἰμί, πορεύομαι δὲ ἀπὸ τοῦ Τιριβάζου στρατοπέδου, ὅπως τὰ ἐπιτήδεια λάβω. (Ἔφη)
5. Ὁ Ἀγησίλαος ὅπως βοηθήσῃ τοῖς τυράννοις, πράγματα τῇ πόλει παρέχει. (Ἔλεγον οἱ πολῖται)
6. Ἴστε τι χωρίον ἔξω τῆς Ἀττικῆς, ἔνθα οὐ προσβατὸν θανάτῳ; (Σωκράτης ἐπισκώπτων ἠρώτα)
7. Εἰ μὴ βοηθήσετε, στρατεύσουσιν ἐφ' ἡμᾶς. (Οἱ Ὀλύνθιοι εἶπον αὐτοῖς)
8. Κῦρος μὲν τέθνηκεν, Ἀριαῖος δὲ πέφευγεν ἐν τῷ σταθμῷ. (Ἔλεγε)
9. Κλέαρχε, ἧκε. (Κῦρος παραγγέλλει (+ δοτική)
10. Ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπωμαι; (Ὁρῶ σε ἀποροῦντα)
11. Τί ἂν ποιῶν τὸν βίον εὐδαιμονέστατα διατελέσαιμι; (Ἐπερωτᾷ τὸν θεὸν)

Λύση

1. Τίς ἔστιν ἡ χώρα; (Ξενοφῶν ἀνηρώτα)
*Ξενοφῶν ἀνηρώτα ἥτις εἴη ἡ χώρα.*

2. Βούλει τι, ὦ Κῦρε, παραγγεῖλαι; (Ξενοφῶν ἤρετο Κῦρον).
*Ξενοφῶν ἤρετο Κῦρον εἰ βούλοιτό τι παραγγεῖλαι.*

3. Ἀναπλευσῇ (< ἀναπλέομαι = ἔρχομαι) ἔχων ἀργύριον; (Ἠρώτων αὐτὸν)
*Ἠρώτων αὐτὸν εἰ ἀναπλευσοῖτο ἔχων ἀργύριον.*

4. Πέρσης εἰμί, πορεύομαι δὲ ἀπὸ τοῦ Τιριβάζου στρατοπέδου, ὅπως τὰ ἐπιτήδεια λάβω. (Ἔφη)
*Ἔφη Πέρσης εἶναι, πορεύεσθαι δὲ ἀπὸ τοῦ Τιριβάζου στρατοπέδου, ὅπως τὰ ἐπιτήδεια λάβοι.*

5. Ὁ Ἀγησίλαος ὅπως βοηθήσῃ τοῖς τυράννοις, πράγματα τῇ πόλει παρέχει. (Ἔλεγον οἱ πολῖται)
*Ἔλεγον οἱ πολῖται τὸν Ἀγησίλαον, ὅπως βοηθήσοι τοῖς τυράννοις, πράγματα τῇ πόλει παρέχειν.*
*Ἔλεγον οἱ πολῖται ὅτι ὁ Ἀγησίλαος, ὅπως βοηθήσοι τοῖς τυράννοις, πράγματα τῇ πόλει παρέχοι.*

6. Ἴστε τι χωρίον ἔξω τῆς Ἀττικῆς, ἔνθα οὐ προσβατὸν θανάτῳ; (Σωκράτης ἐπισκώπτων ἠρώτα)
*Σωκράτης ἐπισκώπτων ἠρώτα εἰ εἰδείησάν τι (ἢ εἰδεῖέν τι) χωρίον ἔξω τῆς Ἀττικῆς, ἔνθα οὐ προσβατὸν θανάτῳ.*
7. Εἰ μὴ βοηθήσετε, στρατεύσουσιν ἐφ' ἡμᾶς. (Οἱ Ὀλύνθιοι εἶπον αὐτοῖς)
*Οἱ Ὀλύνθιοι εἶπον αὐτοῖς ὅτι, εἰ μὴ βοηθήσουσιν, στρατεύσοιεν ἐπ' αὐτούς.*
*Οἱ Ὀλύνθιοι εἶπον αὐτοῖς, εἰ μὴ βοηθήσουσιν, στρατεύσειν ἐπ' αὐτούς.*

8. Κῦρος μὲν τέθνηκεν, Ἀριαῖος δὲ πέφευγεν ἐν τῷ σταθμῷ. (Ἔλεγε)
*Ἔλεγε Κῦρον μὲν τεθνηκέναι, Ἀριαῖον δὲ πεφευγέναι ἐν τῷ σταθμῷ.*
*Ἔλεγε ὅτι Κῦρος μὲν τέθνηκεν, Ἀριαῖος δὲ πεφευγὼς εἴη ἐν τῷ σταθμῷ.*
Σημείωση: Στις δύο ειδικές προτάσεις του παραπάνω παραδείγματος παρατηρούμε εναλλαγή εγκλίσεων (*τέθνηκεν*: οριστική, *πεφευγὼς εἴη*: ευκτική του πλαγίου λόγου), γιατί η μεν οριστική εκφράζει την είδηση του θανάτου του Κύρου ως γεγονός αδιαμφισβήτητο, ενώ η ευκτική του πλαγίου λόγου παρουσιάζει την είδηση της καταφυγής του Αριαίου στον σταθμό με αμφιβολία για την εγκυρότητά της, τη θεωρεί απλώς πολύ πιθανή).

9. Κλέαρχε, ἧκε. (Κῦρος παραγγέλλει + δοτική)
*Κῦρος παραγγέλλει Κλεάρχῳ ἥκειν.*

10. Ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπωμαι; (Ὁρῶ σε ἀποροῦντα
*Ὁρῶ σε ἀποροῦντα ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ.*

11. Τί ἂν ποιῶν τὸν βίον εὐδαιμονέστατα διατελέσαιμι; (Ἐπερωτᾷ τὸν θεὸν)
*Ἐπερωτᾷ τὸν θεὸν τί ἂν ποιῶν τὸν βίον εὐδαιμονέστατα διατελέσαι (ή διατελέσειεν).*

## ▪ ΑΣΚΗΣΗ 4

Εκφώνηση

Να τρέψετε τον ευθύ λόγο σε πλάγιο με εξάρτηση από το ρήμα στην παρένθεση:

1. Βουλεύησθε περὶ τῶν αἰχμαλώτων (Λύσανδρος τοὺς συμμάχους ἐκέλευσε).
2. Ἡμῖν οὐδὲν ἔστιν ἀγαθὸν ἄλλο εἰ μὴ ὅπλα καὶ ἀρετὴ (Θεόπομπος εἶπεν).
3. Ἀφίκοντό ποτε εἰς Παναθήναια Ζήνων τε καὶ Παρμενίδης (ἔλεγεν Πυθόδωρος).
4. Πότερον βούλει μένειν ἢ ἀπιέναι; (Ἡ μήτηρ διηρώτα τὸν Κῦρον).
5. Ἡ πόλις κατελήφθη (Ἤισθοντο).
6. Ἐὰν ἡμῖν φίλια ταῦτ' ᾖ βεβαίως, πέριξ τὴν Πελοπόννησον πολεμήσομεν (Ἐπρεσβεύοντο ὁρῶντες).

Λύση

1. Βουλεύησθε περὶ τῶν αἰχμαλώτων (Λύσανδρος τοὺς συμμάχους ἐκέλευσε).
Λύσανδρος τοὺς συμμάχους ἐκέλευσε *βουλεύεσθαι περὶ τῶν αἰχμαλώτων*.

2. Ἡμῖν οὐδὲν ἔστιν ἀγαθὸν ἄλλο εἰ μὴ ὅπλα καὶ ἀρετὴ (Θεόπομπος εἶπεν).
Θεόπομπος εἶπεν *ὅτι σφίσιν οὐδὲν εἴη ἀγαθὸν ἄλλο εἰ μὴ ὅπλα καὶ ἀρετή*.
Θεόπομπος εἶπεν *σφίσιν οὐδὲν εἶναι ἀγαθὸν ἄλλο εἰ μὴ ὅπλα καὶ ἀρετή*.

3. Ἀφίκοντό ποτε εἰς Παναθήναια Ζήνων τε καὶ Παρμενίδης (Ἔλεγεν Πυθόδωρος).
Ἔλεγεν Πυθόδωρος *ὅτι ἀφίκοιντό ποτε εἰς Παναθήναια Ζήνων τε καὶ Παρμενίδης*.
Ἔλεγεν Πυθόδωρος *ἀφικεσθαί ποτε εἰς Παναθήναια Ζήνωνά τε καὶ Παρμενίδην*.

4. Πότερον βούλει μένειν ἢ ἀπιέναι; (Ἡ μήτηρ διηρώτα τὸν Κῦρον).
Ἡ μήτηρ διηρώτα τὸν Κῦρον *πότερον βούλοιτο μένειν ἢ ἀπιέναι*.

5. Ἡ πόλις κατελήφθη (Ἤισθοντο).
Ἤισθοντο τὴν πόλιν *καταληφθεῖσαν*.

6. Ἐὰν ἡμῖν φίλια ταῦτ' ᾖ βεβαίως, πέριξ τὴν Πελοπόννησον καταπολεμήσομεν (Ἐπρεσβεύοντο ὁρῶντες).
Ἐπρεσβεύοντο ὁρῶντες, *εἰ σφίσιν φίλια ταῦτ' εἴη βεβαίως, πέριξ τὴν Πελοπόννησον καταπολεμήσοντες*.